27 Cur inter omnia, quæ ſenſum patiuntur, ſolum id mores obtinet, quod obuium auribus eſſe poteſt? Nam etſi quid ſine ſermone modulamur, mores tamen præ ſe ipſa modulatio fert, quos non color, non odor, non ſapor gerere poteſt. An quòd motum ſolum hoc obtinet, non dico quem ſtrepitus reddit, (talis enim vel cæteris adeſt, quippe cùm etiam color noſtrum mouere aſpectum poſſit) ſed eum intelligi volo, quem genus id ſtrepitus ſubſequentem ſentimus: hic enim ſimilitudinem gerit, tum in numeris, tum in ſonorum ordine acutorum, & grauium, non in miſtione, quod eſſe in cæteris ſenſibilibus non poteſt. Atqui motum eiuſmodi ſibi actio vendicat, quæ morum index proculdubio eſt. 28 Cur leges pleræque cantilenæ appellentur? An quòd homines priùs quàm literas ſcirent, leges cantabant, ne eas obliuioni mandarent: quod etiam noſtra ætate Agathyrſis in more eſt. Ergo primas quoque poſteriorum cantilenarum eodem appellauerunt nomine, quo omnes ſuperiores vocabantur. 29 Cur numeri muſici, & modi, qui voces ſunt, moribus ſimiles ſeſe exhibẽt: ſapores verò, aut colores, aut odores, nullam eiuſmodi ſimilitudinem gerunt? An quòd numeri muſici, & moduli motibus continentur, quo modo etiam actiones. At omnis efficientia moralis res eſt, moréſque condere poteſt. Sapores verò, aut colores hoc idem æquè conficere non queunt. 30 Cur neque ſubdorium, neque ſubphrygium genus in tragœdiis choricum habeatur? An quoniam antiſtropho carent, vtpote quæ ſcenica ſint, imitationíque accommodata. 31 Cur Phrynichus cæteríque eius ætatis muſici, modulandi potiùs ſcientiam exercebant? An quòd tum in tragœdiis carminis vſus modulaminum longè amplior erat? 31 Cur diapaſon conſonantiam dicimus non ratione numeri diaocto, vt diateſſaron, vt diapente? An quòd priſcis non pluribus vti neruis, quàm ſeptem, fuit in more: deinde Terpander tertia exempta, netem adiunxit, ac eius temporibus diapaſon hæc appellata eſt conſonantia, non diaocto, quippe quę ſeptem, non octo conſtaret. 33 Quamobrem aptiùs de acuto in graue canitur, quàm de graui in acutum? Vtrum quòd ita fit, vt à ſuo inchoetur principio. Neruus enim, qui medius, & dux eſt, acutiſſimus primi tetrachordi habetur: illo autem modo non à principio ſed à fine exordiretur. An quòd graue generoſius, ſonantiúſque ab acuto oriri poteſt.

34 Cur bis diapente, aut bis diateſſaron conſonantia componi non poteſt, bis autem

A κζ Διὰ τί τὸ ἀκουστὸν μόνον ἦθος ἔχει τῶν αἰσθητῶν; καὶ γὰρ ἐὰν ᾖ ἄνευ λόγου μέλος, ὅμως ἔχει ἦθος· ἀλλ' οὐ τὸ χρῶμα, οὐδὲ ἡ ὀσμή, οὐδὲ ὁ χυμὸς ἔχει. ἢ ὅτι κίνησιν ἔχει μόνον οὐχ ἣν ὁ ψόφος ἡμᾶς κινεῖ; τοιαύτη μὲν γὰρ καὶ τοῖς ἄλλοις ὑπάρχει· κινεῖ γὰρ καὶ τὸ χρῶμα [καὶ] τὴν ὄψιν· ἀλλὰ τῆς ἑπομένης τῷ τοιούτῳ ψόφῳ αἰσθανόμεθα κινήσεως. αὕτη δὲ ἔχει B ὁμοιότητα, ἔν τε τοῖς ῥυθμοῖς καὶ ἐν τῇ τῶν φθόγγων τάξει τῶν ὀξέων καὶ βαρέων, οὐκ ἐν τῇ μίξει. ἀλλ' ἡ συμφωνία οὐκ ἔχει ἦθος. ἐν δὲ τοῖς ἄλλοις αἰσθητοῖς τοῦτο οὐκ ἔστιν. αἱ δὲ κινήσεις αὗται, πρακτικαί εἰσιν. αἱ δὲ πράξεις, ἤθους σημασία ἐστί. κη Διὰ τί νόμοι καλοῦνται οὓς ᾄδουσιν; ἢ ὅτι πρὶν ἐπίστασθαι γράμματα, ᾖδον τοὺς νόμους, ὅπως μὴ ἐπι- C λάθωνται· ὥσπερ ἐν Ἀγαθύρσοις ἔτι εἰώθασι; καὶ τῶν ὑστέρων οὖν ᾠδῶν τὰς πρώτας, τὸ αὐτὸ ἐκάλεσαν ὅπερ τὰς πρώτας. κθ Διὰ τί οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ οὖσα, ἤθεσιν ἔοικεν· οἱ δὲ χυμοί, οὔ, ἀλλ' οὐδὲ τὰ χρώματα καὶ αἱ ὀσμαί; ἢ ὅτι κινήσεις εἰσὶν ὥσπερ καὶ αἱ πράξεις; ἤδη δὲ ἡ μὲν ἐνέργεια, ἠθικὸν, καὶ ποιεῖ ἦθος. οἱ δὲ χυμοὶ καὶ τὰ χρώματα, D οὐ ποιοῦσιν ὁμοίως. λ Διὰ τί οὐδὲ ὑποδωριστὶ οὐδὲ ὑποφρυγιστὶ οὐκ ἔστιν ἐν τραγῳδίᾳ χορικόν; ἢ ὅτι οὐκ ἔχει ἀντίστροφον, ἀλλ' ἀπὸ σκηνῆς; μιμητικὴ γάρ. λα Διά τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τῶν μέτρων τραγῳδίαις; λβ Διὰ τί πασῶν καλεῖται, ἀλλ' οὐ κατὰ τὸν ἀριθμὸν δι' ὀ- E κτὼ, ὥσπερ καὶ διὰ τεσσάρων, καὶ διὰ πέντε; ἢ ὅτι ἑπτὰ ἦσαν αἱ χορδαὶ τὸ ἀρχαῖον; εἶτ' ἐξελὼν τὴν τρίτην Τέρπανδρος, τὴν νήτην προσέθηκε, καὶ ἐπὶ τούτῳ ἐκλήθη διὰ πασῶν, ἀλλ' οὐ δι' ὀκτώ. δι' ἑπτὰ γὰρ ἦν. λγ Διὰ τί εὐαρμοστότερον ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ, ἢ ἀπὸ τοῦ βαρέος ἐπὶ τὸ ὀξύ; πότερον ὅτι τὸ ἀπὸ τῆς ἀρχῆς γίνεται ἄρχεσθαι; ἡ γὰρ F μέση καὶ ἡγεμὼν ὀξυτάτη τοῦ τετραχόρδου. τὸ δὲ οὐκ ἀπ' ἀρχῆς, ἀλλ' ἀπὸ τελευτῆς. ἢ ὅτι τὸ βαρὺ ἀπὸ τοῦ ὀξέος γενναιότερον, καὶ εὐφωνότερον; λδ Διὰ τί δὶς μὲν δι' ὀξειῶν, καὶ δὶς διὰ τεττάρων οὐ συμφωνεῖ,